# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## εἰς τὰς ἁγίας ἐνδόξους μεγαλομάρτυρας Ἀγάπην, Εἰρήνην καὶ Χιονίαν, τὰς αὐταδέλφους προστάτιδας τῆς νεότητος τῆς Ἱερᾶς Μητροπόλεως Βεροίας, Ναούσης καὶ Καμπανίας



Ποιημα Στυλιανου Μακρη, Δρος Θ.,
πρωτοπρεσβυτέρου τοῦ Οἰκουμενικοῦ Θρόνου

www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
εἰς τὰς ἁγίας ἐνδόξους
μεγαλομάρτυρας Ἀγάπην, Εἰρήνην
καὶ Χιονίαν, τὰς αὐταδέλφους
προστάτιδας τῆς νεότητος τῆς Ἱερᾶς
Μητροπόλεως
Βεροίας, Ναούσης καὶ Καμπανίας.

ΠΟΙΗΜΑ ΣΤΥΛΙΑΝΟΥ ΜΑΚΡΗ, Δρος Θ.,
Πρωτοπρεσβυτέρου τοῦ Οἰκουμενικοῦ Θρόνου

(ΤΗΡΟΥΝΤΑΙ ΠΝΕΥΜΑΤΙΚΑ ΔΙΚΑΙΩΜΑΤΑ)

**Εὐλογήσαντος τοῦ Ἱερέως, λέγομεν τὸν παρόντα ψαλμόν**

**Κ**ύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ Σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ Σου· καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου Σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν Σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου, ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος· καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις Σου, ἐν ποιήμασι τῶν χειρῶν Σου ἐμελέτων. Διεπέτασα πρὸς Σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός Σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν Σου ἀπ' ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός Σου, ὅτι ἐπὶ Σοὶ ἤλπισα· γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς Σὲ ἦρα τὴν ψυχήν μου· ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε· πρὸς σὲ κατέφυγον. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά Σου, ὅτι Σὺ εἶ ὁ Θεός μου· τὸ Πνεῦμά Σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Ἕνεκεν τοῦ ὀνόματός Σου, Κύριε, ζήσεις με· ἐν τῇ δικαιοσύνῃ Σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει Σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός Σού εἰμι.

**Καὶ εὐθὺς ψάλλομεν**

**Ἦχος δ΄.**

**Θ**εὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

**Στίχ.: Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον Αὐτοῦ.**

**Θ**εὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

**Στίχ.: Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.**

**Θ**εὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

**Στίχ.: Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.**

**Θ**εὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

**Εἶτα τὰ παρόντα τροπάρια**

**Ἦχος δ΄. Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

**Ὡ**ς τὴν νεότητα ὑμῶν ὁμοψύχως, καθοσιώσασαι τῷ φύσιν βροτείαν, διὰ Σταυροῦ καινώσαντι Χριστῷ τῷ Θεῷ, ταύτην δὲ ἀνακαινήσασαι, μαρτυρίῳ φλογόεντι, ὥσπερ ἀετοῦ σαφῶς, ἀνθεῖτε εἰς αἰῶνας, ὅθεν καὶ νῦν οὖν δύνασθε θερμῶς, ὑπὲρ τῶν νέων, πρεσβεύειν αὐτάδελφοι.

**Δόξα. Ἦχος πλ. α΄ . Τὸν Συνάναρχον. (Γερασίμου).**

**Ὡ**ς αὐτάδελφοι κόραι καὶ οὐρανόφρονες, πρὸς εὐσεβείας ἀγῶνας ὁμονοοῦσαι καλῶς, τὸν ἀρχέκακον ἐχθρὸν κατεπαλαίσατε, Χιονία ἡ σεμνή, σὺν Ἀγάπῃ τῇ κλειτῇ, Εἰρήνη ἡ πανολβία, καὶ νῦν Χριστὸν δυσωπεῖτε, ἐλεηθῆναι τὰς ψυχὰς ὑμῶν.

**Καὶ νῦν. Θεοτοκίον.**

**Οὐ** σιωπήσωμεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι, εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ὑμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων, τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

**Εἶτα λέγομεν τὸν παρόντα ψαλμόν**

**Ἐ**λέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός. Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν Σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις Σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί Σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας Σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν Σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου Σου καὶ τὸ Πνεῦμά Σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ’ ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου Σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς Σου καὶ ἀσεβεῖς ἐπὶ Σὲ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην Σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν Σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ Σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν Σου μόσχους.

**Εἶτα ψάλλομεν τὸν παρόντα κανόνα, οὗ ἡ ἀκροστιχίς:**

ΣΠΕΥΣΑΣΑΙ, ΑΥΤΑΔΕΛΦΟΙ, ΒΟΗΘΗΣΑΤΕ ΗΜΙΝ. **(Στυλιανοῦ Πρεσβυτέρου)**

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.**

**Σ**επτὴν ἀνυμνήσωμεν οἱ πιστοί, τριάδα ἁγίων, αὐταδέλφων καὶ ἀρωγήν, σπεύσωμεν ὑπὲρ τῆς νεολαίας, καὶ στηριγμὸν εἰς τὴν πίστιν αἰτήσασθαι.

**Π**οθήσασαι μάρτυρες τὸν Χριστόν, σεπτοῦ μαρτυρίου, ἠξιώθητε δι’ Αὐτόν, Ὃν ὡς παῤῥησίαν κεκτημέναι, ὑπὲρ ἐφήβων θερμῶς ἱκετεύσατε.

**Ε**ἰρήνη Ἀγάπη αἱ ἀγλαεῖς, σεμνὴ Χιονία, μὴ ἐλλίπητε τοὺς πιστῶς, νῦν προσευχομένους καὶ ὑμνοῦντας, ὑμῶν τὴν θείαν καὶ ἔνδοξον ἄθλησιν.

**Θεοτοκίον.**

**Ὑ**πέραγνε μῆτερ τοῦ Λυτρωτοῦ, σκέπῃ μητρικῇ σου, περιφρούρει τὴν τοῦ Χριστοῦ, πᾶσαν νεολαίαν ἣν μὴ παύσῃ, παιδαγωγοῦσα εἰς πίστιν ὀρθόδοξον.

**Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.**

**Σ**αρκικῶν ὀχλημάτων, καὶ πονηρῶν ἕξεων, τοὺς ἐφήβους ῥύσασθε κόραι, ἁγναὶ αὐτάδελφοι, ὡς ἂν ἁγνότητα, διατηρήσωσιν ὅλως, ἀκεραίαν μάρτυρες, ψυχῆς καὶ σώματος.

**Ἀ**ρεταῖς κοσμηθεῖσαι, πνευματικαῖς μάρτυρες, φρόνιμοι παρθένοι Νυμφίῳ, Χριστῷ παρέστητε, Ὃν ἱκετεύσατε, θύραν ἐλέους μὴ κλεῖσαι, τοῖς λαμπάδα φέρουσιν, πίστεως ἄσβεστον.

**Σ**πόρον θεῖον τοῦ Λόγου, καρπὸν πολὺν φέροντα, ἔσπειρεν ὁ Μεγαλομάρτυς, Χριστοῦ Δημήτριος, ἐν ταῖς ψυχαῖς ὑμῶν, μεθ' οὗ Κυρίῳ παρθένοι, ἐκτενῶς πρεσβεύσατε, ὑπὲρ νεότητος.

**Θεοτοκίον.**

**Ἅ**ψαι λύχνον θελήσας, τῶν ἀρετῶν Πάναγνε, ἔλαιον οὐκ ἔχω ὁ τάλας, οὐδὲ μετάνοιαν, διὸ αἰτοῦμαί σε, μακροθυμίας τυχεῖν με, τοῦ Υἱοῦ σου Δέσποινα, διὰ πρεσβείας σου.

**Δ**ιάσωσον, ἐκ λογισμῶν ἀπιστίας καὶ νοημάτων, βλασφημίας καὶ πειρασμῶν σαρκὸς τὴν νεότητα, τριὰς αὐταδέλφων σεπτῶν μαρτύρων.

**Ἐ**πίβλεψον, ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

**Αἴτησις καὶ τὸ Κάθισμα**

**Ἦχος β΄. Τὰ ἄνω ζητῶν.**

**Ἐ**ν κήπῳ ζωῆς, τοῦ Παραδείσου μάρτυρες, ὡς ἄνθη σεμναί, εὐώδη ἐφυτεύθητε, καὶ τὸ αἷμα κεράσασαι, μαρτυρίου ὑμῶν τῷ τοῦ Πνεύματος, μυροδοχείῳ Τούτου τὴν λεπτήν, πιστοῖς εὐωδίαν ἀναπέμπετε.

**Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.**

**Ἱ**κεσίαν μὴ παύσητε, πέμπουσαι αὐτάδελφοι πρὸς τὸν Κύριον, ὑπὲρ νέων ὅτι ἅπαντες, ἐν ταῖς ἁμαρτίαις ἀπολύμεθα.

**Ἀ**ρνηθεῖσαι τὸ φρόνημα, τῆς σαρκὸς ἐφήβους καταξιώσατε, ἐν πρεσβείαις ζῆσαι Πνεύματι, καὶ Αὐτῷ στοιχῆσαι θεοφίλητοι.

**Ὑ**ετῷ τῶν χαρίτων σου, ἄρδευσον ἀρούρας τῶν καρδιῶν ἡμῶν, πρὸς πλουσίαν καρποφόρησιν, θείων ἀρετῶν τριὰς πολύαθλε.

**Θεοτοκίον.**

**Τ**είνας χεῖρας σοῦ δέομαι, ἔνδακρυς Παρθένε ἐκ σοῦ αἰτούμενος, ἀποδρᾶναι τῆς δικαίας μου, καταδίκης Ἄχραντε πρεσβείαις σου.

**Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.**

**Ἄ**λογος τὸν νοῦν, εὑρεθείς ἀλόγοις πάθεσιν, ὡς περιπίπτων ἅγιαι τὸν Θεόν, Λόγον φωτῖσαί με κράζω καθικετεύσατε.

**Δ**είπνου μυστικοῦ, ἀνενόχως ἀξιώσατε, τὴν νεολαίαν μάρτυρες μετασχεῖν, καὶ μὴ εἰς κρῖμα λιταῖς ὑμῶν ἀξιάγαστοι.

**Ε**ἴδωλα ψευδῆ, καὶ αἰσχύνης τὰ σεβάσματα, ὡς καθελοῦσαι κόραι μόνῳ Θεῷ, τὴν νεολαίαν λατρεῦσαι καθοδηγήσατε.

**Θεοτοκίον.**

**Λ**ύτρωσαι παθῶν, ψυχοφθόρων τὰ τεκνία σου, τὴν ἐπανάστασιν παύουσαν τῆς σαρκός, καὶ τὰς ὁρμὰς καθελοῦσα ἡμῶν Πανύμνητε.

**Ὠδὴ στ΄. Τὴν δέησιν.**

**Φ**αντάσματα, τὰ καθ' ὕπνον μάρτυρες, καὶ ἀχλὺν τῶν πονηρῶν νοημάτων, καὶ ἀπρεποῦς φαντασίας τὴν λύμην, λυτρωτικῶς ἀποστήσατε τάχιστα, ἀπὸ τῶν νέων τῶν θερμῶς, ἐκζητούντων ὑμῶν τὴν ἀντίληψιν.

**Ὀ**δύρομαι, καὶ θρηνῶ ὁ ἄθλιος, ὅτι νῦξ μοι ἁμαρτίας ὑπάρχει, ἀσέληνός τε ζοφώδης παρθένοι, διὸ ἀκτῖσι τοῦ Πνεύματος σπεύσατε, φωτῖσαί με ὅπως τὸν νοῦν, καθαρθῶ καὶ τὴν αἴσθησιν, δέομαι.

**Ἰ**σόψυχοι, ἐν θανάτῳ ἔστητε, Χιονία σὺν Εἰρήνῃ Ἀγάπη, καρτερικῶς ὑπομείνασαι καῦσιν, τιμιωτάτων μελῶν ὑμῶν μάρτυρες, ὅθεν καὶ δύνασθε τὸ πῦρ, τῆς σαρκὸς ἡμῶν σβέσαι αὐτάδελφοι.

**Θεοτοκίον.**

**Β**εβύθισμαι, ἐν ἀβύσσῳ Ἄχραντε, ἁμαρτίας καὶ παθῶν τῶν καθ' ἕξιν, αὐταρεσκείας πορνείας κακίας, γαστριμαργίας θυμοῦ καὶ φαυλότητος, ὅθεν ἐνθέρμως σοὶ βοῶ· τεῖνον χεῖρα τοῦ σῶσαί με Δέσποινα.

**Δ**ιάσωσον, ἐκ λογισμῶν ἀπιστίας καὶ νοημάτων, βλασφημίας καὶ πειρασμῶν σαρκὸς τὴν νεότητα, τριὰς αὐταδέλφων σεπτῶν μαρτύρων.

**Ἄ**χραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

**Αἴτησις καὶ τὸ Κοντάκιον**

**Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.**

**Τ**ὴν Ἐκκλησίαν ἀκτῖσι μαρμαίρετε, τοῦ ἀενάου φωτὸς ἀξιάγαστοι, Χριστῷ τῷ Νυμφίῳ ἑπόμεναι, ὡς ἐκ παστοῦ τῷ ἐκ τάφου ἐκλάμψαντι, καὶ Ἅδου τὸ κράτος καταργήσαντι.

**Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον·**

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

**Στίχος: Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις Αὐτοῦ.**

**Εὐαγγέλιον τῶν Δέκα Παρθένων. (Σάββατον ΙΖ΄ Ματθαίου).**

**Ὁ Ν΄ ψαλμός.**

**Δόξα. Ταῖς τῶν αὐταδέλφων...**

**Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...**

**Εἶτα τὸ παρὸν τροπάριον**

**Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**

**Ἔ**ρωτι αὐτάδελφοι, πυρποληθεῖσαι τῷ θείῳ, τὸν Νυμφίον μάρτυρες, ὅλως ἠγαπήσατε ἀξιάγαστοι, καὶ τὸ μὲν βρόμιον, πῦρ μὴ φοβηθεῖσαι, ὡς θυμίαμα εὐάρεστον, τὰ τιμιώτατα, μέλη τῆς σαρκὸς ὑμῶν ἔνδοξοι, Κυρίῳ προσηνέγκατε, τὴν δὲ φλόγα κόραι αὐξήσασαι, τῆς Αὐτοῦ ἀγάπης, στεφάνων ἠξιώθητε λαμπρῶν, καὶ εἰς Νυμφῶνα οὐράνιον, ἐν τιμῇ εἰσήλθατε.

**Σῶσον, ὁ Θεός, τὸν λαόν Σου**

**Ἐλέει καὶ οἰκτιρμοῖς**

**ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

**Οἱ** ἐν τῇ Ἠμαθίᾳ, διατρίβοντες παῖδες καὶ αἱ νεάνιδες, τῆς ὑμετέρας κόραι, ἐν βίῳ προστασίας, καὶ σπουδαῖς χρείαν ἔχουσιν, οἷς ἀρωγὴν ταχινήν, σπεύσατε καταπέμψαι.

**Ἦ**θος τῆς εὐσεβείας, τῆς πατρῴας αὐτάδελφοι συνδιδάξατε, τοὺς νέους ἵνα πλάνας, αἱρέσεων καὶ ῥύπους, ἀθεΐας ἐκφύγωσι, καὶ ὥσπερ τέκνα φωτός, πορεύσωνται τὸν βίον.

**Θ**εοφίλητον κόραι, παρθενίαν φυλάξασαι καὶ ἐγκράτειαν, τὸν πάσης ἁμαρτίας, ἐπέκεινα ἐν κόσμῳ, Ἰησοῦν ἐσημήνατε, Ὢ ὑπὲρ νέων τρισσῶς, πρεσβεύσατε παρθένοι.

**Θεοτοκίον.**

**Ἡ** Σωτῆρα τεκοῦσα, τὸν τοῦ κόσμου Παρθένε, ῥῦσαι πρεσβείαις σου, Αὐτοῦ τὴν νεολαίαν, κρημνοῦ ἀπελπισίας, καὶ βυθοῦ ἀπογνώσεως, ὡς γὰρ αὐτῆς κραταιά, ἐν βίῳ προστασία.

**Ὠδὴ η΄. Τὸν Βασιλέα.**

**Σ**τολὴν παρθένοι, τῆς παρθενίας τοὺς νέους, ἐνδυθῆναι πρεσβεύσατε κόραι, ὅπως εἰς Νυμφῶνα, εἰσέλθωσιν τὸν θεῖον.

**Ἆ**ρον τὸ βάρος, τριὰς μαρτύρων παθῶν μου, ἀπ' ἐμοῦ καὶ κλοιὸν ἁμαρτίας, ἵνα τῷ Χριστῷ μου, δουλεύσω μετὰ φόβου.

**Τ**ὰς ἁμαρτίας, νεότητός μου Κυρίῳ, μὴ μνησθῆναι πρεσβεύσατε κόραι, καίπερ τηλικοῦτος, οὐ παύω ἁμαρτάνειν.

**Θεοτοκίον.**

**Ἕ**λκυσον Κόρη, τὴν νεολαίαν ταχέως, πρὸς λιμένα Ἁγνὴ σωτηρίας, τὸν τῆς Ἐκκλησίας, Σεμνὴ τῆς Ὀρθοδόξου.

**Ὠδὴ θ ΄. Κυρίως Θεοτόκον.**

**Ἡ**δέως προστασίαν, ἐκ τῶν ὀλεθρίων, καὶ ψυχοκτόνων σφαλμάτων παρθένοι σεμναί, τῇ εὐπαθῇ νεολαίᾳ ταχὺ παράσχεσθε.

**Μ**ολύνας ἰοβόλοις, πάθεσιν τὸ σῶμα, καὶ τὴν καρδίαν μου ὅλως αἰτοῦμαι ὑμῶν, τὸ ἀκεσίμβροτον κόραι χάριτος φάρμακον.

**Ἱ**κάνωσον ἐφήβους, δράκοντος συνθλᾶσαι, κάραν καὶ πάθη ποικίλα ψυχῆς ἀνελεῖν, τριὰς μαρτύρων καὶ στέφος θεῖον κομίσασθαι.

**Δόξα.**

**Ν**αὸν τοῦ Παρακλήτου, εὔξασθε γενέσθαι, δι' ἐγκρατείας τὸ σῶμα ἑκάστου ἡμῶν, θείᾳ Αὐτοῦ ἐπελεύσει παρθενομάρτυρες.

**Καὶ νῦν.**

**Σ**ωτῆρα ἡ τεκοῦσα, σῶσόν με Παρθένε, ἐπικρατοῦντα δεικνῦσά με φαύλων παθῶν, ὅτι εἰς σὲ ἀνεθέμην πᾶσαν ἐλπίδα μου.

**Ἄξιόν ἐστιν ὡς ἀληθῶς καὶ τὰ παρόντα μεγαλυνάρια**

**Χ**αῖρε Χιονία ἡ εὐκλεής, χαίρετε Ἀγάπη καὶ Εἰρήνη αἱ θαυμασταί, αἱ καταβαλοῦσαι, τοῦ δαίμονος τὴν μῆνιν, καὶ τούτου καταργοῦσαι, τὰ διαβούλια.

**Χ**άριν τὴν οὐράνιον μυστικῶς, πέμψατε τοῖς νέοις τοῖς τιμῶσιν ὑμᾶς σεμναί, ὥσπερ ἐν τῷ βίῳ, αὐτῶν καὶ ἐν ἀνάγκαις, προστάτιδαι καὶ πάντως, ὀξεῖαι ἔφοροι.

**Ἔ**ρωτι ἐτρώθητε θεϊκῷ, ἐν καρδίᾳ ὅλως ἀγαπήσασαι τὸν Χριστόν,  μάρτυρες Κυρίου, διὸ τῆς αἰωνίου, ζωῆς ἐν Παραδείσῳ, ἀπολαμβάνετε.

**Τ**οὺς καρποὺς τοῦ Πνεύματος δαψιλῶς, ἅγιαι αὐξῆσαι ἀξιώσατε καὶ ἡμᾶς, πίστιν καὶ ἀγάπην, πραότητα καὶ πᾶσαν, ἀγαθοσύνην κόραι, καὶ τὴν ἐγκράτειαν.

**Τ**ῆς ἁγιωτάτης καὶ Ἱερᾶς, Ἀποστολικῆς τε Μητροπόλεως θαυμασταί, Βεροίας Ναούσης, καὶ Καμπανίας πᾶσαν, Χριστοῦ τὴν νεολαίαν, περιφρουρήσατε.

**Π**ᾶσαι τῶν ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

**Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ παρὸν Ἀπολυτίκιον**

**Ἦχος πλ. α΄. Τὸν Συνάναρχον. (Γερασίμου).**

**Ὡ**ς αὐτάδελφοι κόραι καὶ οὐρανόφρονες, πρὸς εὐσεβείας ἀγῶνας ὁμονοοῦσαι καλῶς, τὸν ἀρχέκακον ἐχθρὸν κατεπαλαίσατε, Χιονία ἡ σεμνή, σὺν Ἀγάπῃ τῇ κλυτῇ, Εἰρήνη ἡ πανολβία, καὶ νῦν Χριστὸν δυσωπεῖτε, ἐλεηθῆναι τὰς ψυχὰς ὑμῶν.

**Εἶτα ἐκτενὴς καὶ ἐν τῇ ἀπολύσει τὸ παρόν**

**Ἦχος  β΄. Ὅτε ἐκ τοῦ ξύλου.**

**Ὅ**τε τοῦ ἀρχαίου πτερνιστοῦ, ἐν τῇ ὑμετέρα ἀθλήσει, μάρτυρες ἔνδοξοι, σθένει συνεθλάσατε, τὴν πονηρὰν κεφαλήν, περιόπτου ἐτύχετε, αὐτάδελφοι νίκης, στέφος κομισάμεναι παρὰ Χριστοῦ τοῦ Θεοῦ, ὅθεν καὶ ἡμᾶς ἐν σταδίῳ, ἀρετῶν ὑπὲρ σωτηρίας, ἀγωνιζομένους ἐνισχύσατε.

**Τ**ὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

**Δ**έσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

**Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν,**

**Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.**

Αὐτάδελφοι πρεσβεύσατε ὑπὲρ τοῦ ὑμνολόγου

ὑμῶν καὶ τέκνων τε αὐτοῦ συζύγου Θεῷ Λόγῳ.